UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXV. De Joannis Apocalypsi.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

increbruit hæc opinio, adeo ut schismata & integrarum ecclesiarum defectiones fierent; convocatis Presbyteris ac Doctoribus qui per singulos vicos fratribus prædicabant, præsentibus item fratribus qui adesse voluerant, hortatus sum illos ut ea doctrina palam in concione examinaretur. Cumque hunc librum tanquam scutum quoddam murúmque inexpugnabilem mihi opposuissent, tres continuos dies à prima luce usque ad vesperam cum ipsis sedens, quæcumque in eo libro scripta erant, discutere aggressus sum. Tum verò fratrum constantiam, & ardentissimum cognoscendæ veritatis studium, & docilitatem atque intelligentiam magnoperè sum admiratus. Adeò moderatè & ordine interrogationes rationésque dubitandi, & assensiones à nobis fiebant. Ac studiosè quidem cavebamus, ne ea quæ semel nobis placuissent, tametsi falsa esse deprehenderentur, pertinaciter defenderemus: nec aliorum objectiones subterfugiebamus. Sed quoad fieri poterat, ad ea de quibus instituta erat disputatio eniti, eaque stabilire conabamur: sin autem rationibus convicti essemus, non pudebat nos mutare sententiam, & aliis assentiri. Quin potius cum bona animi conscientia, absque ulla simulatione, expansis ad Deum cordibus, quæcunque certissimis argumentis & auctoritate sacræ Scripturæ confirmata essent, suscipiebamus. Tandem denique Coracio qui hujus doctrinæ auctor & signifer fuerat, audientibus cunctis qui aderant fratribus, pollicitus nobis & contestatus est, se inposterum hanc opinionem amplexurum non esse, nec de ea disputaturum, nec locuturum, nec populo prædicaturum; quippe qui argumentis oppositis satis superque convictus fuisset. Fratribus autem qui aderant, hæc disputatio & omnium inter se reconciliatio atque consensio non mediocrem attulit voluptatem.

A πρὸ πολλοῦ τοῦτο ἐπεπόλαζε τὸ δόγμα, ὡς
σχίσματα καὶ ἀποστασίας ὅλων ἐκκλησιῶν γε-
γονέναι. συγκαλέσας τοὺς πρεσβυτέρους καὶ
διδασκάλους τῶν ἐν ταῖς κώμαις ἀδελφῶν,
παρόντων καὶ τῶν βουλομένων ἀδελφῶν, δη-
μοσίᾳ τὴν ἐξέτασιν ποιήσασθαι τοῦ λόγου προ-
τρεψάμην. καὶ τοῦτό μοι προσαγαγόντων
βιβλίον ὡς ὅπλον καὶ τεῖχος ἀκαταμάχη-
τον, συγκαθεσθεὶς αὐτοῖς τριῶν ἑξῆς ἡμερῶν
ἕω μέχρις ἑσπέρας, διευθύνειν ἐπειράθην τὰ
γεγραμμένα. ἔνθα καὶ τὸ εὐσταθὲς καὶ τὸ φι-
λάληθες, καὶ τὸ εὐπαρακολούθητον καὶ συνετὸν
ὑπερηγάσθην τῶν ἀδελφῶν, ὡς ἐν τάξει καὶ
B μετ' ἐπιεικείας τὰς ἐρωτήσεις καὶ τὰς ἐπαπο-
ρήσεις καὶ τὰς συγκαταθέσεις ἐποιούμεθα·
μὲν ἐκ παντὸς τρόπου καὶ φιλονείκως τῶν ἅπαξ
δοξάντων περιέχεσθαι, εἰ καὶ φαίνοιτο ὀρθῶς
ἔχοντα, παραιτησάμενοι. μήτε δὲ τὰς ἀντιλο-
γίας ὑποστελλόμενοι. ἀλλ' ἐς ὅσον οἷόν τε τῶν
προκειμένων ἐπιβατεύειν καὶ κρατύνειν αὐτὰ
πειρώμενοι. μήτε εἰ λόγος αἱρεῖ, μεταπεί-
θεσθαι καὶ συνομολογεῖν αἰδούμενοι. ἀλλ' εὐσυ-
C νειδήτως καὶ ἀνυποκρίτως, καὶ ταῖς καρδίαις
πρὸς τὸν Θεὸν ἡπλωμέναις, τὰ ταῖς ἀποδεί-
ξεσι καὶ διδασκαλίαις τῶν ἁγίων γραφῶν
συνιστανόμενα καταδεχόμενοι. καὶ τέλος ὁ
τῆς διδαχῆς ταύτης ἀρχηγὸς καὶ εἰσηγητὴς
καλούμενος Κορακίων, ἐν ἐπηκόῳ πάντων τῶν
παρόντων ἀδελφῶν ὡμολόγησε καὶ διεμαρ-
τύρατο ἡμῖν, μηκέτι τούτῳ προσέξειν, μηδὲ
διαλέξασθαι περὶ τούτου. μὴ δὲ μεμνῆσθαι. μὴ
διδάξειν, ὡς ἱκανῶς ὑπὸ τῶν ἀντιλεχθέντων
ᾑρημένος· τῶν τε ἄλλων ἀδελφῶν οἱ παρόν-
τες ἔχαιρον ἐπὶ τῇ κοινολογίᾳ καὶ τῇ πρὸς πάν-
D τας συγκαταβάσει καὶ συνδιαθέσει.

## Caput XXV.

*De Ioannis Apocalypsi.*

Huc refer Niceph. l. 6. c. 22. 23.

DEinde aliquanto pòst de Revelatione Joannis ita scribit: Nonnulli quidem ex iis qui nos præcesserunt, librum hunc repudiarunt penitus ac refutarunt; singula ejus capita refellentes, eumque absque ullo sensu & ratiocinatione scriptum esse monstrantes. Adhęc

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τῆς Ἰωάννου Ἀποκαλύψεως.

ΕΙθ' ἑξῆς ὑποβὰς περὶ τῆς Ἀποκαλύψεως
Ἰωάννου ταῦτά φησι. τινὲς μὲν οὖν τῶν
πρὸ ἡμῶν ἠθέτησαν καὶ ἀνεσκεύασαν πάντη τὸ
βιβλίον. καθ' ἕκαστον κεφάλαιον διευθύνοντες,
ἄγνωστόν τε καὶ ἀσυλλόγιστον ἀποφαίνοντες,
ψευ-

ψεύδεσθαί τε τὴν ἐπιγραφήν. Ἰωάννου γὰρ οὐκ εἶναι λέγουσιν· ἀλλ' οὐδ' Ἀποκάλυψιν εἶναι, τὴν σφόδρα καὶ παχεῖ κεκαλυμμένην τῷ τῆς ἀγνοίας παραπετάσματι· καὶ οὐχ ὅπως τῶν Ἀποστόλων τινά, ἀλλ' οὐδ' ὅλως τῶν ἁγίων ἢ τῶν ἀπὸ τῆς ἐκκλησίας τούτου γεγονέναι ποιητὴν τοῦ γράμματος. Κήρινθον δὲ τὸν καὶ τὴν ἀπ' ἐκείνου κληθεῖσαν Κηρινθιανὴν συστησάμενον αἵρεσιν, ἀξιόπιστον ἐπιφημίσαι θελήσαντα τῷ ἑαυτοῦ πλάσματι ὄνομα. τοῦτο γὰρ εἶναι τῆς διδασκαλίας αὐτοῦ τὸ δόγμα, ἐπίγειον ἔσεσθαι τὴν τοῦ Χριστοῦ βασιλείαν. καὶ ὧν αὐτὸς ὠρέγετο φιλοσώματος ὢν καὶ πάνυ σαρκικός, ἐν τούτοις ὀνειροπολεῖν ἔσεσθαι, γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα πλησμοναῖς, τουτέστι σιτίοις καὶ ποτοῖς καὶ γάμοις, καὶ δι' ὧν εὐφημότερον ταῦτα ᾠήθη ποριεῖσθαι, ἑορταῖς καὶ θυσίαις καὶ ἱερείων σφαγαῖς. ἐγὼ δὲ ἀθετῆσαι μὲν οὐκ ἂν τολμήσαιμι τὸ βιβλίον, πολλῶν αὐτὸ διὰ σπουδῆς ἐχόντων ἀδελφῶν. μείζονα δὲ τῆς ἐμαυτοῦ φρονήσεως τὴν ὑπόληψιν τὴν περὶ αὐτοῦ λαμβάνων, κεκρυμμένην εἶναί τινα καὶ θαυμασιωτέραν τὴν καθ' ἕκαστον ἐκδοχὴν ὑπολαμβάνω. καὶ γὰρ εἰ μὴ συνίημι, ἀλλ' ὑπονοῶ γε νοῦν τινα βαθύτερον ἐγκεῖσθαι τοῖς ῥήμασιν. οὐκ ἰδίῳ ταῦτα μετρῶν καὶ κρίνων λογισμῷ, πίστει δὲ πλέον νέμων, ὑψηλότερα ἢ ὑπ' ἐμοῦ καταληφθῆναι νενόμικα· καὶ οὐκ ἀποδοκιμάζω ταῦτα ἃ μὴ συνεώρακα. θαυμάζω δὲ μᾶλλον ὅτι μὴ καὶ εἶδον. ἐπὶ τούτοις τὴν ὅλην τῆς Ἀποκαλύψεως βασανίσας γραφήν, ἀδύνατον δὲ αὐτὴν κατὰ τὴν πρόχειρον ἀποδείξας νοεῖσθαι διάνοιαν, ἐπιφέρει λέγων. συντελέσας δὴ πᾶσαν, ὡς εἰπεῖν, τὴν προφητείαν, μακαρίζει ὁ Προφήτης τούς τε φυλάσσοντας αὐτήν, καὶ δὴ καὶ ἑαυτόν. μακάριος γάρ φησιν ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· κἀγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα. καλεῖσθαι μὲν οὖν αὐτὸν Ἰωάννην καὶ εἶναι τὴν γραφὴν Ἰωάννου ταύτην, οὐκ ἀντερῶ. ἁγίου μὲν γὰρ εἶναί τινος καὶ θεοπνεύστου συναινῶ. οὐ μὴν ῥᾳδίως ἂν συνθοίμην τοῦτον εἶναι τὸν Ἀπόστολον, τὸν υἱὸν Ζεβεδαίου, τὸν ἀδελφὸν Ἰακώβου, οὗ τὸ Εὐαγγέλιον τὸ κατὰ Ἰωάννην ἐπιγεγραμμένον, καὶ ἡ ἐπιστολὴ ἡ καθολική. τεκμαίρομαι γὰρ ἔκ τε τοῦ ἤθους ἑκατέρων, καὶ τοῦ τῶν λόγων εἴδους, καὶ τῆς

A inscriptionem libri falsam esse dicunt. Neque enim auctorem ejus esse Joannem. Sed neque eam Revelationem esse, quippe quæ tam crasso tamque opaco ignorantiæ obducta sit velo. Et non modo Apostolorum neminem, sed ne ullum quidem è sanctis & ecclesiasticis viris hujus libelli conditorem fuisse affirmant. Cerinthum enim qui nominis sui sectam conflavit, cum magnæ auctoritatis nomen ad faciendam fidem commentis suis vellet præfigere, Joannis titulum operi suo indidisse. Quippe hanc Cerinthi opinionem fuisse; Regnum Christi terrenum futurum: & in iis maximè rebus quas ipse utpote car- B nalis & voluptatibus corporis deditus præcipuè concupiscebat, hæsurum: in ventris scilicet, & eorum quæ sub ventre sunt satietate; id est, in cibis ac poculis, in nuptiis & in iis quibus ista honestius parari posse existimabat; festis nimirum & sacrificiis, & hostiarum mactationibus. Ego verò librum illum rejicere omninò non ausim, præsertim cùm multi ex fratribus eum magni faciant. Sed hujusmodi de illo opinionem concipiens quasi sensus mei modum excedat, arcanam quandam planéque C admirabilem singularum rerum intelligentiam latere existimo. Nam etsi ipse non intelligo, suspicor tamen altiorem quendam sensum verbis subesse. Eaque non meo ipsius judicio metior atque æstimo: sed plus fidei tribuens, sublimiora esse censeo quàm ut à me percipiantur. Nec ea condemno quæ intelligere non potui: verùm inde admiror magis quòd capere non possum. Post hæc integro Revelationis libro examinato; postquam apertissimè ostendit, eum prorsus intelligi non posse juxta obvium verborum sensum, hęc subjicit: Absoluta demum universa prædictione D sua, Propheta beatos pronuntiat tum eos qui eam servaverint, tum seipsum. Beatus, inquit, qui servat verba Prophetiæ libri hujus: & ego ipse Joannes qui hæc vidi atque audivi. Joannem igitur hunc vocari, & librum à Joanne scriptum esse, non inficior. Fateor enim sancti cujusdam & divino spiritu afflati viri id opus esse. Sed hunc ipsum esse Apostolum, Zebedæi filium, Jacobi fratrem; cujus est Evangelium illud quod secundùm Joannem inscribitur, & epistola catholica; haud facilè concesserim. Nam ex utriusque genio & forma loquendi, & ex libelli



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

totius ductu ac dispositione, non unum A eundemque Scriptorem esse conjicio. Quippe EVANGELISTA quidem nullibi nomen suum adscribit: nec semetipse, aut in EVANGELIO, aut in epistola prædicat. Et paulò post subdit: Joannes verò nusquam, nec tanquam de seipso nec tanquam de altero. At ille qui Revelationem scripsit, in ipso statim exordio nomen suum præfigit cum ait: Revelatio Jesu Christi quam dedit ipsi ut palam faceret servis suis celeriter, & significavit mittens per ANgelum suum Joanni servo suo, qui testificatus est Verbum Dei & testimonium ejus quæcumque vidit. Ad hæc B epistolam scribit. Joannes, inquit, septem ecclesiis quæ sunt in Asia: Gratia vobis & pax. Evangelistes verò ne Catholicæ quidem epistolæ nomen suum præfixit; sed absque ulla verborum ambage ab ipso divinæ revelationis mysterio exorsus est. Quod fuit, inquit, ab initio: quod audivimus, quod vidimus oculis nostris. Ob hujusmodi enim Revelationem Petrum Dominus beatum prædicavit his verbis: Beatus es Simon fili Jonæ, quia caro & sanguis non revelavit tibi, sed Pater meus qui in cælis est. Sed neque in secunda ac tertia, quæ Joanni C vulgò adscribuntur, epistolis, quamvis brevissimis, Joannis vocabulum prostat: verùm absque ullo nomine senior inscribitur. Alter autem ille non satis habuit nomine suo semel edito narrationem deinceps prosequi: sed iterum repetit: Ego Joannes, frater & consors vester in tribulatione & regno & in patientia Jesu; Fui in insula quæ Patmos vocatur, propter verbum Dei & testimonium Jesu. ET sub finem libri rursus hæc addit: Beatus qui servat verba Prophetiæ libri hujus, & ego Joannes qui hæc vidi & audivi. Joannem igitur esse auctorem hujus libri, ipsi id affirmanti credendum est. Sed quisnam ille fuerit Joannes, incer- D tum. Neque enim seipsum esse dicit, sicut in EVANGELIO sæpius dicitur, Discipulum illum quem dilexit Dominus: aut illum qui supra pectus Domini recubuit; aut fratrem Jacobi: aut illum denique qui Dominum vidit atque audivit. Aliquid enim horum quæ memorata sunt certè dixisset, si seipsum liquidò voluisset ostendere. Sed horum quidem nihil posuit: fratrem verò duntaxat & con-

A τοῦ βιβλίου διεξαγωγῆς λεγομένης, μὴ τὸν αὐ-
τὸν εἶναι. ὁ μὲν γὰρ Εὐαγγελιστὴς, οὐδαμοῦ τὸ ὄ-
νομα αὐτοῦ παρεγγράφει. οὐδὲ κηρύσσει ἑαυτ-
οὔτε διὰ τοῦ Εὐαγγελίου, οὔτε διὰ τῆς ἐπιστολ-
εἶθ' ὑποβὰς, πάλιν ταῦτα λέγει Ἰωάννης
οὐδαμοῦ οὐδὲ ὡς περὶ ἑαυτοῦ, οὐδὲ ὡς περὶ ἑτέ-
ρου. ὁ δὲ τὴν Ἀποκάλυψιν γράψας, εὐθὺς τ
ἑαυτὸν ἐν ἀρχῇ προΐστησι. Ἀποκάλυψ
Ἰησοῦ Χριστοῦ ἣν ἔδωκεν αὐτῷ δεῖξαι τοῖς δού-
λοις αὐτοῦ ἐν τάχει· καὶ ἐσήμανεν ἀποστείλας
διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάνν
ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν μαρ-
B τυρίαν αὐτοῦ ὅσα εἶδεν. εἶτα καὶ ἐπιστολ
γράφει. Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις τα
ἐν τῇ Ἀσίᾳ, χάρις ὑμῖν καὶ εἰρήνη. ὁ δέ γε Εὐ-
αγγελιστὴς, οὐδὲ τῆς καθολικῆς ἐπιστολῆς προ-
έγραψεν ἑαυτοῦ τὸ ὄνομα. ἀλλὰ ἀπερίττως ἀπ
αὐτοῦ τοῦ μυστηρίου τῆς θείας Ἀποκαλύψεω
ἤρξατο· ὃ ἦν ἀπ' ἀρχῆς. ὃ ἀκηκόαμεν, ὃ ἑωρά-
καμεν τοῖς ὀφθαλμοῖς ἡμῶν. ἐπὶ ταύτῃ γὰρ τ
Ἀποκαλύψει καὶ ὁ Κύριος τὸν Πέτρον ἐμα-
κάρισεν εἰπών· μακάριος εἶ Σίμων βὰρ Ἰω-
νᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀποκάλυψέ σοι ἀλλ'
ὁ πατήρ μου ὁ οὐράνιος· ἀλλ' οὐδὲ ἐν τῇ δευτέ-
C ρᾳ φερομένῃ Ἰωάννου καὶ τρίτῃ, καίτοι βραχεί-
αις οὔσαις ἐπιστολαῖς, ὁ Ἰωάννης ὀνομαστὶ πρό-
κειται. ἀλλὰ ἀνωνύμως ὁ πρεσβύτερος γέ-
γραπται. οὗτος δέ γε οὐδὲ αὐταρκες ἐνόμισ
ἅπαξ ἑαυτὸν ὀνομάσας, διηγεῖσθαι τὰ ἑξ
ἀλλὰ πάλιν ἀναλαμβάνει. ἐγὼ Ἰωάννης ὁ ἀ-
δελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλί
καὶ βασιλείᾳ καὶ ἐν ὑπομονῇ Ἰησοῦ, ἐγενόμ
ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν λό-
γον τοῦ Θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ. καὶ δὴ
πρὸς τῷ τέλει ταῦτα εἶπε. μακάριος ὁ τηρ
τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτ
κἀγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα.
D μὲν οὖν Ἰωάννης ἐστὶν ὁ ταῦτα γράφων, αὐτ
λέγοντι πιστευτέον· ποῖος δὲ οὗτος, ἄδηλον. οὐ
εἶπεν ἑαυτὸν εἶναι, ὡς ἐν τῷ Εὐαγγελίῳ πολλα-
χοῦ, τὸν ἠγαπημένον ὑπὸ τοῦ Κυρίου μαθη-
τήν. οὐδὲ τὸν ἀναπεσόντα ἐπὶ τὸ στῆθος αὐτ
οὐδὲ τὸν ἀδελφὸν Ἰακώβου. οὐδὲ τὸν αὐτόπτη
καὶ αὐτήκοον τοῦ Κυρίου γενόμενον. εἶπε γὰρ ἂν
τι τούτων τῶν προδεδηλωμένων, σαφῶ
ἑαυτὸν ἐμφανίσαι βουλόμενος. ἀλλὰ τούτ
μὲν οὐδέν. ἀδελφὸν δὲ ἡμῶν καὶ συγκοινων

A εἶπε καὶ μάρτυρα Ἰησοῦ, καὶ μακάριον ἐπὶ τῇ θέᾳ καὶ ἀκοῇ τῶν Ἀποκαλύψεων. πολλοὺς δὲ ὁμωνύμους Ἰωάννῃ τῷ Ἀποστόλῳ νομίζω γεγονέναι. οἳ διὰ τὴν πρὸς ἐκεῖνον ἀγάπην, καὶ τὸ θαυμάζειν καὶ ζηλοῦν, ἀγαπηθῆναί τε ὁμοίως αὐτῷ βουλεσθαι ὑπὸ τοῦ Κυρίου, καὶ τὴν ἐπωνυμίαν τὴν αὐτὴν ἠσπάσαντο. ὥσπερ καὶ ὁ Παῦλος πολὺς καὶ δὴ καὶ ὁ Πέτρος ἐν τοῖς τῶν πιστῶν παισὶν ὀνομάζεται. ἔστι μὲν οὖν καὶ ἕτερος Ἰωάννης ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων ὁ ἐπικληθεὶς Μάρκος. ὃν Βαρνάβας καὶ Παῦλος ἑαυτοῖς συμπαρέλαβον. B περὶ οὗ καὶ πάλιν λέγει, εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην. εἰ δ' οὗτος ὁ γράψας ἐστὶν, οὐκ ἂν φαίην· οὐδὲ γὰρ ἀφῖχθαι σὺν αὐτοῖς εἰς τὴν Ἀσίαν γέγραπται· ἀλλὰ ἀναχθέντες μὲν φησὶν ἀπὸ τῆς Πάφου οἱ περὶ Παῦλον, ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. ἄλλον δέ τινα οἶμαι τῶν ἐν Ἀσίᾳ γενομένων· ἐπεὶ καὶ δύο φασὶν ἐν Ἐφέσῳ γενέσθαι μνήματα, καὶ ἑκάτερον Ἰωάννου λέγεσθαι. C καὶ ἀπὸ τῶν νοημάτων δὲ καὶ τῶν ῥημάτων καὶ τῆς συντάξεως αὐτῶν, εἰκότως ἕτερος οὗτος παρ' ἐκεῖνον ὑπονοηθήσεται. συνᾴδουσι μὲν γὰρ ἀλλήλοις τὸ Εὐαγγέλιον καὶ ἡ ἐπιστολή, ὁμοίως τε ἄρχονται. τὸ μὲν φησὶν, ἐν ἀρχῇ ἦν ὁ λόγος· ἡ δὲ, ὃ ἦν ἀπ' ἀρχῆς. τὸ μὲν φησὶ, καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ. δόξαν, ὡς μονογενοῦς παρὰ Πατρός· ἡ δὲ τὰ αὐτὰ σμικρῷ παρηλλαγμένα. ὃ ἀκηκόαμεν. ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν. ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. καὶ ἡ ζωὴ ἐφανερώθη. D ταῦτα γὰρ προαναχρούεται, διατεινόμενος ὡς ἐν τοῖς ἑξῆς ἐδήλωσε πρὸς τοὺς οὐκ ἐν σαρκὶ φάσκοντας ἐληλυθέναι τὸν Κύριον· διὸ καὶ συνῆψεν ἐπιμελῶς, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν. καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν· ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν· ἔχεται αὐτοῦ καὶ τῶν προθέσεων οὐκ ἀφίσταται. διὰ δὲ τῶν αὐτῶν κεφαλαίων καὶ ὀνομάτων πάντα διεξέρχεται· ὧν τινὰ μὲν, ἡμεῖς συντόμως ὑπομνήσομεν· ὁ δὲ προσεχῶς ἐντυγχάνων, εὑρήσει ἐν ἑκατέρῳ πολλὴν

fortem nostrum sese appellavit, & testem Jesu; beatum denique ob visam atque auditam Revelationem. Ac plurimos quidem fuisse opinor Joanni Apostolo cognomines: qui propter singularem erga illum benevolentiam, & quod hominem mirarentur ac suspicerent, & perinde ac ille à Domino diligi ambirent, hoc cognomentum adamaverint: quemadmodũ ex fidelium liberis multos Pauli Petrique nominibus appellatos videmus. Est etiam alius Joannes in Actibus Apostolorum cognomento Marcus, quem Barnabas & Paulus comitem sibi adjunxerunt. De quo etiam rursus dicitur: Habebant autem Joannem ministrum. *Act. 13.* An hic sit qui Revelationem scripsit, mihi non liquet. Neq; enim unà cum illis in Asiam venisse perhibetur. Sed cum solvissent, inquit, à Papho, Paulus quidem Pergen Pamphyliæ profectus est; Joannes verò discedens ab illis, reversus est Hierosolymam. Alium igitur esse censeo: unum scilicet eorum qui in Asia versati sunt. Duo enim apud Ephesum sepulcra fuisse traduntur: utrumque Joannis nomine insignitum. Ex sententiis quoque & ex verbis eorumque collocatione, facile conjicitur hunc ab illo diversum fuisse. Nam Evangelium & epistola sibi mutuò consonant, & eodem ordiuntur modo. Sic enim incipit Evangelium: In principio erat verbum. Epistola verò: Quod fuit ab initio. In illo dicitur: Et Verbum caro factum est, & habitavit in nobis. Et vidimus gloriam ejus, gloriam quasi unigeniti à Patre. Hæc verò, eadem habet, paulisper tantùm immutata: Quod audivimus, quod vidimus oculis nostris, quod perspeximus, & manus nostræ contrectaverunt, de Verbo vitæ: & vita manifestata est. Hæc enim ille veluti modulationis proludia præmittit, adversùs eos qui Christum in carne advenisse negabant, ut in sequentibus ostendit. Quamobrem de industria subjunxit: Et quod vidimus testamur, & annuntiamus vobis vitam æternam, quæ erat apud Patrem & apparuit nobis. Quod vidimus & audivimus annuntiamus vobis. Adeò totus ex se ipse pendet, & à propositionibus suis ne latum quidem unguem discedit; sed iisdem pene capitibus ac verbis cuncta prosequitur. Ex quibus nos quidem nonnulla breviter suggeremus. Qui verò attentè perlegerit, in utroque sæpius vitam,



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

lucem, fugam tenebrarum; frequenter veritatem, gratiam, gaudium, carnem & sanguinem Domini, judicium, peccatorum remissionem; Dei erga nos dilectionem, mutuæ inter nos dilectionis præceptum: & universa præcepta servanda esse reperiet. Adhæc condemnationis elogium adversus mundum, Diabolum & Antichristum: promissio sancti Spiritus, adoptio filiorum Dei; fides in omnibus à nobis præstanda: Pater & Filius ubique nominati, in utroque passim occurrunt. Denique in omnibus, si rectè examinaveris, unus idemque utriusque scriptionis genius, EVANGELII nimirum & epistolæ, evidenter apparet. Apocalypsis verò ab his prorsus aliena est & extranea; nulla necessitudine aut vicinitate contingens quidquam ex supradictis; ac ne syllabam quidem unam cum illis communem habens. Sed neque epistola (de EVANGELIO enim nihil dico) mentionem ullam aut significationem facit Apocalypseos; nec APOCALYPSIS epistolæ: cum tamen Paulus in epistolis nonnihil de revelationibus suis indicaverit, quas quidem ille in proprium Volumen non retulit. Præterea ex dictione ipsa conjici potest, quantùm EVANGELIUM & epistola differant ab APOCALYPSI. Nam illa quidem non modò emendatè quod ad Græcum sermonem attinet, verùm etiam cum summa elegantia tum in verbis tum in argumentationibus & in tota orationis compositione perscripta sunt. Tantum abest ut barbarismus aliquis aut solœcismus; aut denique idiotismus quispiam in illis deprehendatur. Utroque enim præditus erat EVANGELISTES, sermone nimirum ac scientia; cùm hæc duo ipsi Dominus concessisset, scientiam simul & eloquentiam. Illum verò Revelationem quidem vidisse, & scientiam ac futurorum prædictionem accepisse non inficior. Verùm dictionem ejus non admodum Græcam animadverto, sed barbarismis atque interdum solœcismis inquinatam. Quos quidem inpræsentiarum excerpere, haudquaquam necesse est. Neque enim subsannandi animo hæc à me dicta esse quisquam existimet: sed potiùs eo consilio, ut utriusque scripti dissimilitudinem expenderem.

A τὴν ζωήν. πολὺ τὸ φῶς. ἀποτροπὴν τοῦ σκότους συνεχῆ τὴν ἀλήθειαν· τὴν χάριν· τὴν χαρὰν· τὴν σάρκα καὶ τὸ αἷμα τοῦ Κυρίου· τὴν κρίσιν· τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· τὴν πρὸς ἡμᾶς ἀγάπην τοῦ Θεοῦ· τὴν πρὸς ἀλλήλους ἡμᾶς ἀγάπης ἐντολήν· ὡς πάσας δεῖ φυλάσσειν τὰς ἐντολάς· ὁ ἔλεγχος τοῦ κόσμου, τοῦ διαβόλου, τοῦ ἀντιχρίστου· ἡ ἐπαγγελία τοῦ ἁγίου πνεύματος· ἡ υἱοθεσία τοῦ Θεοῦ· ἡ διόλου πίστις ἡμῶν ἀπαιτουμένη· ὁ πατὴρ καὶ ὁ υἱὸς πανταχοῦ καὶ ὅλως διὰ πάντων χαρακτηρίζοντας ἕνα καὶ τὸν αὐτὸν συνορᾶν τοῦ τε Εὐαγγελίου καὶ τῆς ἐπιστολῆς χρῶτα πρόκειται. ἀλλο- B τρία δὲ καὶ ξένη παρὰ ταῦτα ἡ Ἀποκάλυψις, μήτε ἐφαπτομένη, μήτε γειτνιῶσα τούτων μηδενὶ σχεδὸν ὡς εἰπεῖν· μὴ δὲ συλλαβὴν πρὸς αὐτὰ κοινὴν ἔχουσα· ἀλλ᾽ οὐδὲ μνήμην τινὰ οὐδὲ ἔννοιαν, οὔτε ἡ ἐπιστολή, τῆς Ἀποκαλύψεως ἔχει. ἐῶ γὰρ Εὐαγγέλιον. οὔτε τῆς ἐπιστολῆς ἡ Ἀποκάλυψις· Παύλου διὰ τῶν ἐπιστολῶν ὑποφήναντός τι καὶ περὶ τῶν Ἀποκαλύψεων αὐτοῦ, ἃς οὐκ ἐνέγραψε καθ᾽ αὑτάς. ἔτι δὲ καὶ τῆς φράσεως τὴν διαφορὰν ἔστι τεκ- C μήρασθαι τοῦ Εὐαγγελίου καὶ τῆς ἐπιστολῆς πρὸς τὴν Ἀποκάλυψιν. τὰ μὲν γὰρ οὐ μόνον ἀπταίστως κατὰ τὴν Ἑλλήνων φωνήν, ἀλλὰ καὶ λογιώτατα ταῖς λέξεσι. τοῖς συλλογισμοῖς. ταῖς συντάξεσι τῆς ἑρμηνείας γέγραπται. πολλοῦ γε δεῖ βάρβαρόν τινα φθόγγον. ἢ σολοικισμὸν ἢ ὅλως ἰδιωτισμὸν ἐν αὐτοῖς εὑρεθῆναι. ἑκάτερον γὰρ εἶχεν ὡς ἔοικε τὸν λόγον. ἀμφοτέρους αὐτῷ χαρισαμένου τοῦ Κυρίου, τόν τε τῆς γνώσεως, τόν τε τῆς φράσεως. τούτῳ δὲ ἀποκάλυψιν μὲν ἑωρακέναι, καὶ γνῶσιν εἰληφέναι καὶ προφητείαν οὐκ ἀντερῶ. διάλεκτον μέντοι καὶ D γλῶσσαν οὐκ ἀκριβῶς ἑλληνίζουσαν αὐτοῦ βλέπω. ἀλλ᾽ ἰδιώμασι μὲν βαρβαρικοῖς χρώμενον, καί που καὶ σολοικίζοντα. ἅπερ οὐκ ἀναγκαῖον νῦν ἐκλέγειν· οὐδὲ γὰρ ἐπισκώπτων μή τις νομίσῃ, ταῦτα εἶπον. ἀλλὰ μόνον τὴν ἀνομοιότητα διευθύνων τούτων τῶν γραφῶν.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN